eul_wid: beu-aa

*Ξενοφάνης ὁ Κολοφώνιος* · Xenophanes of Colophon

## Fragments Silli and-Nature

*Ἀποσπάσματα Σίλλοι καὶ Περὶ φύσεως*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἰωνική* Ionic (frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Ἔμμετρος* Verse
**Affiliation:** Presocratic

book 9 ἐξ ἀρχῆς καθ' Ὅμηρον, ἐπεὶ μεμαθήκασι πάντες ...
book 10.1 πάντα θεοῖς' ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός
book 10.2 τε, ὅσσα
book 10.3 παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστίν, κλέπτειν μοιχεύειν
book 10.4 τε καὶ ἀλλήλους ἀπατεύειν.
book 11.1 ὡς
book 11.2 πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα, κλέπτειν μοιχεύειν
book 11.3 τε καὶ ἀλλήλους ἀπατεύειν.
book 13.1 ἀλλ' εἰ χεῖρας ἔχον βόες 〈ἵπποι τ'〉 ἠὲ λέοντες ἢ γράψαι
book 13.2 χείρεσσι καὶ ἔργα
book 13.3 τελεῖν ἅπερ ἄνδρες, ἵπποι μέν θ' ἵπποισι, βόες δέ τε βουσὶν ὁμοίας καί 〈κε〉 θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίουν[ln_5]τοιαῦθ', οἷόν
book 13.4 περ καὐτοὶ δέμας εἶχον 〈ἕκαστοι〉.
book 14.1 Αἰθίοπές
book 14.2 τε 〈θεοὺς
book 14.3 σφετέρουσ〉 σιμοὺς μέλανάς
book 14.4 τε Θρῆικές
book 14.5 τε γλαυκοὺς καὶ πυρρούς 〈φασι πέλεσθαι〉.
book 15.1 ἑστᾶσιν δ' ἐλάτη〈ς βάκχοι〉 πυκινὸν
book 15.2 περὶ δῶμα.
book 16 οὔ τοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς' ὑπέδειξαν, ἀλλὰ χρόνωι ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον.
book 17 καί 〈κ'〉 ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο.
book 18.1 πὰρ
book 18.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πυρὶ χρὴ τοιαῦτα λέγειν

book 18.3 χειμῶνος ἐν ὥρηι ἐν κλίνηι μαλακῆι κατακείμενον, ἔμπλεον ὄντα, πίνοντα γλυκὺν οἶνον, ὑποτρώγοντ’ ἐρεβίνθους· ‘τίς πόθεν εἶς ἀνδρῶν; πόσα

book 18.4 τοι ἔτε’ ἐστί, φέριστε;[ln_5]πηλίκος ἦσθ’, ὅθ’ ὁ Μῆδος ἀφίκετο;‘

book 19.1 εἷς θεὸς ἔν

book 19.2 τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος, οὔ τι δέμας θνητοῖσιν ὁμοίιος οὐδὲ νόημα.

book 20 οὖλος ὁρᾶι, οὖλος δὲ νοεῖ, οὖλος δέ τ’ ἀκούει.

book 21.1 ἀλλ’ ἀπάνευθε πόνοιο νόου

book 21.2 φρενὶ πάντα κραδαίνει.

book 22.1 αἰεὶ δ’ ἐν

book 22.2 ταὐτῶι μίμνει κινεύμενος οὐδέν, οὐδὲ μετέρχεσθαί μιν ἐπιπρέπει ἄλλοτε ἄλληι.

book 23.1 ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα

book 23.2 τελευτᾶι.

book 24.1 γαίης μὲν τόδε

book 24.2 πεῖρας ἄνω

book 24.3 παρὰ ποσσὶν ὁρᾶται ἠέρι

book 24.4 προσπλάζον, τὸ κάτω δ’ ἐς ἄπειρον ἱκνεῖται.

book 25 γῆ καὶ ὕδωρ πάντ’ ἔσθ’ ὅσα γίνοντ(αι) ἠδὲ φύονται.

book 26.1 πηγὴ δ’ ἐστὶ θάλασσ’ ὕδατος, πηγὴ δ’ ἀνέμοιο· οὔτε γὰρ ἐν νέφεσιν 〈πνοιαί κ’ ἀνέμοιο φύοιντο〉 〈ὀμβροφυέσσιν〉 ἔσωθεν ἄνευ πόντου μεγάλοιο οὔτε ῥοαὶ ποταμῶν οὔτ’ αἰ〈θέρος〉 ὄμβριον ὕδωρ,[ln_5]ἀλλὰ μέγας πόντος γενέτωρ νεφέων ἀνέμων

book 26.2 τε καὶ ποταμῶν.

book 27 ἠέλιός θ’ ὑπεριέμενος γαῖάν τ’ ἐπιθάλπων.

book 28 ἥν τ’ Ἶριν καλέουσι, νέφος καὶ τοῦτο πέφυκε, πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰδέσθαι.

book 29.1 πάντες γὰρ γαίης

book 29.2 τε καὶ ὕδατος ἐκγενόμεσθα.

book 30.1 καὶ τὸ μὲν οὖν

book 30.2 σαφὲς οὔ τις ἀνὴρ ἴδεν οὐδέ τις ἔσται εἰδὼς ἀμφὶ θεῶν

book 30.3 τε καὶ ἅσσα λέγω

book 30.4 περὶ πάντων· εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι

book 30.5 τετελεσμένον εἰπών, αὐτὸς ὅμως οὐκ οἶδε· δόκος δ’ ἐπὶ πᾶσι τέτυκται.

book 31.1 ταῦτα δεδοξάσθω μὲν ἐοικότα

book 31.2 τοῖς ἐτύμοισι.

book 32.1 ὁππόσα δὴ θνητοῖσι

book 32.2 πεφήνασιν εἰσοράασθαι,

book 33 καὶ μὲν ἐνὶ σπεάτεσσί τεοις καταλείβεται ὕδωρ.

book 34 εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, πολλὸν ἔφασκον γλύσσονα σῦκα πέλεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org